www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΝΟΝΝΑΝ,
# ΜΗΤΕΡΑ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ
# ΤΟΥ ΘΕΟΛΟΓΟΥ

*(ἧς ἡ μνήμη τῇ ε΄ Αὐγούστου)*



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2008 *

www.tezaurliturgic.ro


# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΝΟΝΝΑΝ, ΜΗΤΕΡΑ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου·καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος, καὶ τὰ τροπάρια*

*Ἦχος δ΄ Ὁ ὑψωθείς.*

Ἁγιασμὸν ὁλοτελῆ κατιδοῦσα,
οἰκογενείας σου, φιλόθεε Νόννα,
καὶ Παραδείσου θέλγητρα ὁρῶσα ἐσαεί,
τὸν Χριστὸν ἱκέτευε,
σὺν σεπτοῖς συγγενέσιν,
ὅπως τοὺς ὑμνοῦντάς σε,
ἐκ ψυχῆς ἁγιάζῃ,
καὶ φωτισμὸν παρέχῃ ταῖς ψυχαῖς,
ἀσθενειῶν δέ,
ταχεῖαν τὴν ἴασιν.

*Δόξα. Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Νοῦν ἡμῶν φώτισον, θεοχαρίτωτε Νόννα. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Νοός μου τὸ σκότος, Νόννα σεμνή,

διάλυσον ὅπως,
ἴδω Φῶς τὸ ἀληθινόν,
Χριστὸν Ἰησοῦν τὸν Ζωοδότην,
Ὃς παμφαῶς τὸν σὸν οἶκον ἡγίασεν.

Οὐ πλοῦτος ἐπίγειος καὶ φθαρτός,
ψυχήν σου, ὦ Νόννα,
κατεδούλωσαν καὶ τιμαί,
ἀνθρώπων ὑπέταξαν σὸν βίον,
διὸ κἀμὲ τούτων τήρει ἀπείραστον

Υἱῶν σου δυάδα τὴν θαυμαστήν,
σὺν κόρῃ ἁγίᾳ,
καὶ συζύγῳ τῷ ἱερῷ,
συνήρμοσας, Νόννα, τῷ Κυρίῳ,
ὅθεν κἀμὲ Τούτῳ σύνδησον δέομαι.

*Θεοτοκίον*

Νεκρόν με ὑπάρχοντα ἐκ παθῶν,
σοῦ δέομαι, Μῆτερ,
ζωογόνησον σαῖς εὐχαῖς,
ἡ κόσμου ζωὴν ἀποτεκοῦσα,
τὸν Ἰησοῦν τὸν φιλάνθρωπον, Δέσποινα.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἤκουσέ σου Δεσπότης,
καὶ τὸν καλὸν σύζυγον,
πρὸς τῆς ἀληθείας τὸ φέγγος,
Νόννα, ἡλίευσεν,
ὅθεν σοῦ δέομαι,
Ὀρθοδοξίας τῷ φέγγει,
τήρησόν με πάντοτε,
μένειν ἀκλόνητον.

Μήτηρ γέγονας, Νόννα,
καὶ τὰ δεσμὰ ἔλυσας,
τῆς σῆς ἀτεκνίας Κυρίῳ,
κλαυθμῷ προσπίπτουσα,
καὶ τὸν Γρηγόριον,
καρπὸν ἐξήνθησας θεῖον,
διὸ δεῖξον κάρπιμον,
στεῖραν καρδίαν μου

Ὡς θεόσδοτον δῶρον,
τῷ Βασιλεῖ δέδωκας,
τὴν κλεινὴν τριάδα σῶν τέκνων,
Νόννα πανεύφημε,
καὶ νῦν ἀξίωσον,
κἀμὲ διδόναι Κυρίῳ,
τὴν ζωήν μου ἅπασαν,
καὶ τὰ νοήματα.

*Θεοτοκίον*

Νέαν ἔδειξας κτίσιν,
τὴν ἐξ ἐχθροῦ, Δέσποινα,
πεπαλαιωμένην ἀθλίως,
Χριστὸν κυήσασα·
διὸ ἱκέτευε,
Αὐτὸν καινίσαι ψυχήν μου,
τὴν ἀπείροις πάθεσιν,
καταγηράσασαν.

Διάσωσον,
ἀπὸ κινδύνων, ὦ Νόννα, τοὺς σοὺς ἱκέτας
τοὺς γεραίροντας πόθῳ τὴν θείαν μνήμην σου,
διώκουσα,
τῶν ψυχῶν καὶ σωμάτων ἄλγη.

Ἐπίβλεψον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν εὐμενείᾳ, Πανύμνητε, Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τοῦ βίου πολλά,
ἐκύκλωσαν κύματα,
ψυχήν μου πτωχήν,
ὦ Νόννα τρισμακάριε,
ὅθεν τάχος πρόφθασον καὶ εὐχαῖς σου διάσωσον,
ταύτην ἐκ ζάλης καὶ πνιγμοῦ,
ὡς Πέτρον διέσωσεν ὁ Κύριος.

*ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Φιλοθέως ἀξίωσον,
βίον μου τελέσαι, Νόννα χριστόψυχε,
καὶ ἐν νῷ κρατεῖν ἀείποτε,
μνήμην Ἰησοῦ τὴν ζωοδότειραν.

Ὥσπερ κῆπον χριστόφυτον,
δεῖξον τὴν καρδίαν μου, Νόννα πάνσεμνε,
ἐν ᾧ ἄνθη ὡς πανεύοσμα,
ἀρεταὶ βλαστήσουσι σωτήριοι.

Τὰ ἀγχώδη ὁρμήματα,
θραῦσον ὥσπερ κύματα, Νόννα, δέομαι,
τὰ βυθίσαι ἀπειλοῦντα με,
ἐν καταβαράθρῳ τῆς κολάσεως.

*Θεοτοκίον*

Ἱερώτατον σφάγιον,
δεῖξόν με ἀγάπης Υἱοῦ σου, Πάναγνε,

καθ’ ἑκάστην ἀποθνήσκοντα,
καὶ σταυροῦντα πάθη τὰ πολύτροπα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σῶμα καὶ ψυχήν,
κατεμόλυνα ὁ ἄθλιος,
καὶ πῶς κατίδω τὸν καλόν μου Ἰησοῦνϗ
ὅθεν σύ, Νόννα,
θεία πρέσβις μοι γενήθητι.

Οὔτε ἡδοναί,
οὐδὲ πλοῦτος καὶ ἀπόλαυσις,
τῆς τοῦ Κυρίου σε ἐχώρισαν σεμνή,
Νόννα, διό με,
μιμητήν σου δεῖξον, δέομαι.

Νίκην πολλαπλῆν,
Νόννα, εἴληφας τοῖς ἄθλοις σου,
ἐν τῇ δυνάμει ἀθλοθέτου Ἰησοῦ,
Οὗ τῇ ἰσχύϊ,
ταῖς εὐχαῖς σου με δυνάμωσον.

*Θεοτοκίον*

Θραῦσον τὰ δεσμά,
ἁμαρτίας, Παναμώμητε,
τὰ καταθλίβοντα ψυχήν μου τὴν πτωχήν,
καὶ ἐν ἀέρι,
τοῦ Χριστοῦ πετᾶν ἀξίωσον.

*ᾨδὴ ϛ΄. Τὴν δέησιν.*

Ἐνίσχυσον
κλονουμένων βήματα,
καὶ στερέωσον καρδίας, ὦ Νόννα,

ὁ γὰρ ἐχθρός,
καθ᾽ ἑκάστην τὰ βέλη,
τῆς ἁμαρτίας τοξεύει τὰ πύρινα,
ζητῶν ὡς λέων βρυχηθμῷ,
ἀπολέσαι ἡμᾶς ὁ μισόψυχος.

Οὐράνιον,
πολιτείαν ζήσασα,
τῶν φρονούντων τὰ φθαρτὰ καὶ γεώδη,
Νόννα σεμνή,
βίον θείας εὐχαῖς σου,
πρὸς σωτηρίας ὁδοὺς καθοδήγησον,
καὶ ἅπαντα τοῦ πονηροῦ,
τὰ προσκόμματα τάχει διάλυε.

Χαρίτωσον,
τὴν Χριστοῦ νεότητα,
τὴν παλαίουσαν ποικίλαις σειρήναις,
καὶ τοῦ ἐχθροῦ,
φιληδόνους παγίδας,
ἁγία Νόννα, ταχέως διάλυσον,
ἵνα δοξάζῃ σου ἀεί,
τὸ σεπτὸν καὶ χαρίεν μνημόσυνον.

*Θεοτοκίον*

Ἀξίωσον,
Παραδείσου, Ἄχραντε,
τοὺς πιστῶς σοι προσφωνοῦντας τό, «Χαῖρε»,
καὶ οἰκιστάς,
ποθητοῦ Παραδείσου,
σὺν τῶν Ἁγίων ἁπάντων τοῖς πλήθεσι,
ἀξίωσον ὡς ἐν Χριστῷ,
μητρικὴν παῤῥησίαν κατέχουσα.

Διάσωσον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀπὸ κινδύνων, ὦ Νόννα, τοὺς σοὺς ἱκέτας
τοὺς γεραίροντας πόθῳ τὴν θείαν μνήμην σου,
διώκουσα,
τῶν ψυχῶν καὶ σωμάτων ἄλγη.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Τῶν πιστῶν τύπος, Νόννα, γεγένησαι,
ἐντολὰς τοῦ Κυρίου τηρήσασα·
ὅθεν εὔχου,
τῷ ἐλεήμονι Θεῷ ὑπέρ ἡμῶν,
ῥυσθῆναι ἐκ πληθύος πειρασμῶν,
καὶ πολλῶν ἀσθενειῶν,
τῆς ψυχῆς καὶ τοῦ σώματος.
Ἵνα ὁμολογῶμεν,
χάριν σοι εὐγνωμόνως,
ἀξιωθείσῃ παγγενῶς,
τῆς τρυφῆς Χριστοῦ τῆς ὄψεως.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῆς Ὁσίας αὐτοῦ.
Στίχ. *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Ματθαῖον (5, 14-19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ

Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

*Δόξα Πατρί.*

Ταῖς Ἁγίας Νόννης,
πρεσβείαις, Ἐλεῆμον ,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον ,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Νόννα ἀξιόθεε,
μῆτερ ἡμῶν πανοσία,
τὰς ἁγίας χεῖράς σου,
ἔκτεινον πρὸς Κύριον τὸν Φιλάνθρωπον,
καὶ ψυχῶν αἴτησαι,
ἄφεσιν σφαλμάτων,
τὴν ὑγιείαν δὲ τοῖς σώμασι,
καὶ ἐν ταῖς θλίψεσι,
τὴν ὑπομονὴν τὴν εὐχάριστον·
συζύγους ἐξαγίασον,

τέκνα ἐν εἰρήνῃ εὐλόγησον,
ἵνα τοῦ Δεσπότου,
τηροῦντες ἐντολὰς ζωοποιούς,
τῆς Βασιλείας γενώμεθα,
οὐρανῶν συμμέτοχοι.

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ῥῶσιν δίδου νοσοῦσιν,
τὴν ὑγιείαν ὡς δῶρον αὐτοῖς παρέχουσα,
τοῖς δὲ συζύγοις, Νόννα,
ἀγάπην καὶ εἰρήνην,
ἀναφαίρετον χάρισαι,
ὅπως ὑμνῶμεν Χριστόν,
τὸν ἁγιάσαντά σε.

Ἱλαρότητι τρόπων,
ποθητὴ τοῖς ἀνθρώποις, Νόννα, γεγένησαι,
καὶ τῇ φιλοπτωχείᾳ,
σὺν ἐλεημοσύνῃ,
ἐμιμήσω τὸν Κύριον,
Ὃν ἐκδυσώπει ἀεί,
ψυχήν μου ἐλεῆσαι.

Τῇ γλυκύτητι, Νόννα,
τὸν ὁμόζυγον πλάνης ὁδοῦ διέσωσας,
καὶ θεῖον ποιμενάρχην,
ἶδες λαοῦ Κυρίου,
μεθ' οὗ πρέσβευε πάντοτε,
διαφυλάττειν ἡμᾶς,
ἐκ πλάνης ψυχωλέθρου.

*Θεοτοκίον*

Ὥσπερ ἄκαρπον δένδρον,
ἐκκοπὴν αἰφνιδίαν τρέμω, Θεόνυμφε,

ὅθεν ἐν τέλει βίου,
ζῆσαι ἐν μετανοίᾳ,
καθαρᾷ με ἀξίωσον,
καὶ ἐν δακρύων ῥοαῖς,
τὰ σφάλματα ἐκπλῦναι.

*ᾨδὴ η'. Τὸν βασιλέα.*

Τοὺς ἀσθενείαις,
κατακειμένους ποικίλαις,
τὴν ὑγιείαν παράσχου, θεία Νόννα,
καὶ τῶν θλιβομένων,
διάλυε τὰ νέφη.

Εἰρήνην δίδου,
τοῖς ἐν δεσμῷ συζυγίας,
καὶ τὰ τέκνα αὐτῶν, Νόννα, εὐλόγει,
ἵνα Βασιλείας,
ὀφθῶσι κληρονόμοι.

Νέους συγκράτει,
ἐκ τῆς ὁδοῦ ἀπωλείας,
συνετίζουσα τούτους, μῆτερ Νόννα,
ὅπως ἐκ παγίδων,
τοῦ πονηροῦ σωθῶσιν.

*Θεοτοκίον*

Οὐδεὶς ἀρκέσει,
λόγος ὑμνῆσαι, Παρθένε,
μεγαλεῖα οἷς ὕψωσέ σε Λόγος,
καὶ ἰσχὺν μετρῆσαι, σῆς μητρικῆς πρεσβείας.

*ᾨδὴ θ'. Κυρίως Θεοτόκον.*

Νῦν ὥρα μετανοίας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ καιρὸς δακρύων,
Νόνναν ψυχή μου συνήγορον,
λάβε καὶ λέγε Κυρίῳ,
Σῶτερ ἐλέησον.

Νικήσασα τὸν κόσμον,
καὶ ἐχθρὸν ἀρχαῖον,
νῦν τῷ Δεσπότῃ δικαίως παρίστασαι,
Ὃν καθικέτευε, Νόννα,
ὑπὲρ τῶν δούλων σου.

Ἅμα τοῖς Γρηγορίοις,
Καισαρίῳ, Νόννα,
καὶ Γοργονίᾳ Χριστὸν ἐκδυσώπησον,
τοῦ ἐλεῆσαι τοὺς ὅσοι,
ὑμᾶς γεραίρουσιν.

*Θεοτοκίον*

Ἀξίωσόν με, Μῆτερ,
ἐν εὐχῇ ἑστῶτι,
παραλαβεῖν τὴν ψυχήν μου ὁ ἄγγελος,
ὥσπερ ψυχὴν θείας Νόννης,
εὐχῇ παρέλαβεν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβείμ,
καὶ ἐνδοξωτέραν,
ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## *Μεγαλυνάρια*

Νόννα, καὶ ὡς σύζυγος συνετή,
καὶ ὡς μήτηρ ὤφθης,
ἀριστεύσασα θαυμαστῶς,
ὅτι σὺν Αγίων,
χοροῖς βλέπεις οἰκείους,
μεθ' ὧν συντάξαις πάντας,
τοὺς ἀνυμνοῦντάς σε.

Θύσασα Κυρίῳ, Νόννα, σαὐτήν,
πρὸ σεπτῆς τραπέζης,
παραδέδωκας τὴν ψυχήν·
ὅθεν τοὺς τιμῶντας,
τὴν πάνσεπτόν σου μνήμην,
θύματα πανευώδη,
Κυρίου ποίησον.
Νόννα καὶ Γρηγόριε ἱερέ,
θεῖε Θεολόγε,
Γοργονία χριστοφιλής,
ἅμα Καισαρίῳ,
πεντὰς ἡγιασμένη,
μνήσθητε τῶν τιμώντων,
ὑμᾶς ἐκ πίστεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Νόννα, ἀγαπήσαντες Θεόν,
ἅμα τῷ συζύγῳ καὶ τέκνοις καθηγιάσθητε,
ὅθεν ἱκετεύσατε ὑπὲρ ἡμῶν ἐκτενῶς,
θεραπεύοντες ἅπαντα,
ψυχῶν καὶ σωμάτων,
πάθη τὰ δυσίατα ταῖς πρὸς Αὐτὸν προσευχαῖς,
ὅπως τὸν Παράδεισον κλῆρον,
εὕρωμεν καὶ ἅμα ἀγγέλοις
Τοῦτον ἀνυμνῶμεν ἀγαλλόμενοι.

Δέσποινα, πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

***Στίχοι***

*Νόννα μακαρία, τῶν σὲ γεραιρόντων,*
*γενοῦ πρέσβις ἀκοίμητος πρὸς Δεσπότην.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ